Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-199094-p0001-9

S.b.d.

E libris
gymnasio Mauritiano Magdeburgensi
a venerabili
Carolo Funk
theol. doctore et gymnasii directore
a. 1857 hereditate relictis.

G. f. 171.

210

πρὸς

# ΤΑ ΛΟΓΙΔΙΑ ΣΧΟΛΑ-ΣΤΙΚΑ

περὶ

τῶν καθηκόντων τῶν φιλομαθέων

# ΤΟΥΣ ΠΡΥΤΑΝΕΙΣ,

καὶ τοὺς ἐν τέλει

βουλευτήριον τὸ κατὰ τὴν πόλιν, καὶ πάντας τοὺς τῆς

παιδείας τετυχηκότας

καλεῖ

## ΙΩ. ΓΟΘ. ΖΕΙΣΚΙΟΣ.

---

Ἐν Δρέσδῃ τύποις Ἰωάννου Ριεδελίου.

136.

AK

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-199094-p0003-1

ΠΑρὰ τῶν Ελευσινίων, Οργίων, Καβειρίων, Λητωΐων, Ασκληπίων καὶ ἄλλων ἤγαγον οἱ ἀπηλλοτριωμένοι τῆς ἀληθινῆς εὐλαβείας, μᾶλλον δὲ θεοβλαφεῖς καὶ τὰ ΘΕΟΦΑΝΙΑ. Ουκ ἐπὶ πολὺ περὶ τῆς λέξεως ἐξηγήσομαι, εἰ Θεοφάνεια, θεοφανίαι, θεοφάνια γραπτέα, ὅτι ἑκάστῳ τούτων ψῆφον διδόασιν ὁ τοῦ Ονομαστικοῦ συγγραφεύς, ὁ τῷ Ἥρωϊ ἀρχαίῳ Πολυδεύκει ὁμώνυμος, καὶ Ηρόδοτος καὶ Γρηγόριος. Θεοφάνια δὲ προσαγορεύονται, ὅτι ἄγεσθαι εἰώθασιν, τῶν Θεῶν φαινομένων, καὶ ὅταν οὗτοι οὐρανοπετεῖς ἀνθρώποις ὤφθησαν. Τοιουτότροποι Θεῶν ἐπιφάνειαι καθ' ἅπαν πρόχειρα, οὐ μόνον παρὰ τοῖς ποιηταῖς, οἷς μυθολογεῖν ἀφίεται, ἀλλὰ καὶ τοῖς ἐμπειρίᾳ καὶ φιλοσοφίᾳ ἀπολαμπρυνομένοις. Καὶ ὡς ἐὰν σιγῇ τὰ λοιπὰ, ὁ Ιουλιανός γε δὴ ὁ ἐχθρὸς τῶν Χριστιανῶν δυσμενέστατος, Ασκληπιὸν ἔφη ἐκ Διὸς γεννηθέντα ἐπὶ γῆς ἐξ οὐρανοῦ ποιησάμενον πρόοδον ἑνοειδῶς περὶ τὴν Επίδαυρον φανῆναι. Διὰ τοῦτο ὁ ἱερομνήμων Λουκᾶς, τὰ πεπληροφορημένα ἐν θεοδρόμοις καὶ ἱεροπρεσβευταῖς πράγματα ἱστορέων, τοὺς ὄχλους ἐν Λύστροις λέγει οἴεσθαι, τοὺς Θεοὺς ἀνθρώποις ὁμοιωθέντας πρὸς αὐτοὺς καταβῆσαι.

Τοῖς δὲ χριστομύσταις ἄλλα καὶ πολλῷ μᾶλλον λαμπρότερα ΘΕΟΦΑΝΙΑ νεωστὶ ἑορτάζεσθαι ὑπῆρξεν ὅταν τοῦ Σωτῆρος τῶν ἀνθρώπων ἐφ' ἑαυτὸν ἐνδεξαμένου ἀδικήματα ἐν κοιτίδι βαβάζοντος ἠκούσαμεν, καὶ τὸν ἄσπεστον Θεὸν παμμέγιστόν τε προσεπηχυνάμεθα. Ουδὲ γὰρ ἐν ἀφανεῖ κεῖται, τοὺς ἐκ παλαιοτάτου χριστιανοὺς ἐνιαύσιον τῶν γενεθλίων Ιησοῦ ἀνάμνησιν Θεοφάνια κεκληκέναι. Δεισιδαίμων πάλαι διάθεσις Θεογάμια καθειστήκει, Περσεφονείας δήπου ἑορτὴν, διὰ τὸν αὐτῆς καὶ Πλούτωνος γάμον. Ησαν καὶ Θνητογάμια, διὰ τοῦ μνείαν ποιεῖσθαι θεᾶς Θέτιδος γάμου καὶ βροτοῦ Πηλέως, Ατρεκεστέρῳ δὲ ὀνόματι ὀνομάζεται Θεογαμία ἡμέρα, ᾗ Χριστὸς οἱονεὶ πρὸς γάμον τὰ ἀνθρώπινα ἤγαγε σύζευξιν ποιησάμενος ἀνώμαλον μὲν, βεβαιοτάτην δὲ καὶ ἀΐδιον, ἀντὶ τῶν ἔδνων ζωῆς καὶ μακαριότητος προσενεχθείσης. Αἱ μὲν ἄλλαι ἑορταὶ πόλεων καὶ πατρίων ἴδιαι, ἄλλαι δὲ δημοτελεῖς, οἷαι ἔν τινι Καρακάλλου νομίσματι Ταρσέων ὀνομάζονται, ὡς καὶ κοινὰ Ασίας, καὶ Οἰκουμενικὰ καὶ μεγάλα ΣΠΑΝΗΜΙ-

ΜΙΟΣ ἐπισ. β. πρὸς Μορελλ. εἰσφέρει. Τὰ δὲ τοῦ χριστοῦ γενέθλια ἐνδίκως οὐ μόνον δήμια, ἀλλὰ καὶ οἰκουμενικὰ ἢ κοινὰ τοῦ παντὸς λέγονται, ὅτι πάντας, ὅσοι σὺν τῷ Σωκράτει κοσμικοὶ ὄντες συνοίδασι, μεγάλα ἀγαθὰ ὁ χριστὸς εἰργάσατο· Θεὸς ὁ Λόγος κἂν πρόπαλαι τοῖς πατράσι μορφῇ προσκαίρῳ ὤφθη, οὐδεμία ἡμέρα ἐπὶ μᾶλλον Θεοφάνιά ἐστιν, ἢ αὕτη, ἡ τεχθέντα ἀθάνατον τοῦ κόσμου κτιστὴν, καὶ τὰ τῆς μεγαλοπρεπείας μυστήρια σπαργάνοις ἐγκεκορδυλημένα ἐθαυμάσαμεν. Τότε γὰρ ἐν τῇ φάτνῃ ὡσπερεὶ τὸν τοῦ Ἀποστόλου ἀφορισμὸν ἦν ἀναγινώσκειν, Ἐπεφάνη ἡ χάρις τοῦ Θεοῦ ἡ σωτήριος πᾶσιν ἀνθρώποις. Καὶ Θεὸς ἐφανερώθη ἐν σαρκί.

Ἀλλὰ δὴ καὶ δωδεκάτην ὕστερον τῶν γενεσίων ἡμέραν ΘΕΟΦΑΝΙΑ λέγουσιν οἱ ἀρχαῖοι τῆς ἁγιωτάτης ἐκκλησίας διδάσκαλοι, ὧν ὥσπερ ὀνοματουργῶν ἦν θεάις ἑορταῖς ὀνόματα.

Ἐξομόθεν δὲ τῶν ἑλλήνων μηνολόγιον ΓΕΝΕΒΡΑΡΔΩΙ μεθερμηνευομένον ἡμέραν, ἣν λέγομεν, τούτῳ ὀνόματι ἐσημείωσεν.

Ἄλλως τε ΕΠΙΦΑΝΙΑ, ἤτοι εἰ σοι ἥδιον, ΕΠΙΦΑΝΕΙΑ ἐκάλουν, ἐν οἷς ἐφανερώθη τοῖς ἔξω ἔθνεσι, δηλονότι ἀπὸ ἀνατολῶν ἐρχομένοις. Ἀνθ᾽ ὅτου καὶ ἡ ἑορτὴ τῶν Μάγων νομίζεται, οὗς εὐαγγελικὴ περικοπὴ ἡ ἀνὰ πᾶν ἔτος προδιδασκομένη ἀπομνημονεύει. Κἂν τριπλάσιον τοῦ Σωτῆρος ἐπιφάνειαν, λέγω δὲ τὸ σέβας τῶν Μάγων, τὸ βάπτισμα, καὶ τὴν ἐν Κανᾷ τῆς Γαλιλαίας πεποιημένην σημείων ἀρχὴν, ἀχθῆναι λέγῃ ὁ συντακτήριος ἐλλόγιμος ΜΑΒΙΛΛΟΝ. περὶ τῆς Λειτουργίας Κελτικῆς.

Εἴτις ἐπικερτομήσαι ἐμοὶ καὶ λέξαι ταῦτα κατόπιν ἑορτῆς ἥκειν, τοῦτον δαῆναι ἔδει, ταύτην τῆς μνήμης ἀπώλειαν ἢ ληθαργικὴν βαρυτάτην εἶναι τῶν τῆς χάριτος Θεοῦ τάχα ἐπιλανθανομένων. Πρὸς τούτοις κἂν ἡ δόξα παράδοξός ἐστι τοῦ δεῖνα, οὐ περὶ δείπνου ἁγίου ὑποθέσεις ἐδοκίμασεν ΙΤΤΙΓΙΟΣ ὁ μακαρίτης, τὰς ἐπιφανείας τὴν Φοινίκων ἑορτὴν εἶναι, τῶν ἐπιφανειῶν ἡ ἐκκλησία ἔτι μνημονεύει τὰς ἡμέρας κυριακὰς μετ᾽ ἐκείνας ἀριθμοῦσα. Καὶ ἡμῖν μὲν τούτων ἡμερῶν περικοπαὶ συνεπιθεμένοις τῷ καιρῷ πρόφασιν παρέχον, ἐφήβους τινας φιλοπόνους δοκίμους τε προάγειν αὖθις ποιησαμένους λόγους ὑπὲρ τῶν καθηκόντων τῶν φιλομαθῶν.

I. Πρόεδρος ἐκείνων ἔσται ΙΩ. ΦΙΛΙΠ. ΑΝ, Δελίτιος, διαλεγόμενος λατινιστὶ περὶ τοῦ προσδεῖν φιλομαθεῖς ἑλίκης καὶ κανόνος.

II. Παρασχόντος παράδειγμα Ἰησοῦ ἐν τῷ ἱερῷ, ἐκείνους μεμυημένους δεόντως, φιληκόους καὶ ζητητικοὺς εἶναι χρῆν διηγήσεται ΙΩ. ΧΡΙΣΤΙΑΝ. ΑΠΠΕΛΜΑΝΝ, Σωδερῖνος, λόγῳ ῥωμαϊκῷ, οὗ περιοχὴν προπέμψει ποιηματίῳ λατίνῳ ΙΩ. ΧΡΙΣΤΟΦ. ΕΙΝΣΙΟΣ, Βρατισλαυικός.

III.

III. Πρὸς τὰ γαμικὰ τῶν Μουσῶν Θεὸν καὶ Χριστὸν κλητέον ΜΙΧ. ΓΟΘ. ΜΕΛΙΣΧ, Λυβηνεὺς, τῇ ἑλληνίδι, ποιηματίῳ Τευτονικῷ προτρέχοντος ΙΩ. ΜΙΧ. ΕΒΕΡΑΡΔ, Λουκκαίου.

IIII. Ὥσπερ ἑκατοντάρχῳ καὶ δούλοις, καὶ τοῖς περὶ τοὺς λόγους ὑπακοὴν καὶ ταπεινοφροσύνην κόσμον εἶναι, ΜΑΡΤ. ΓΡΑΣΜΑΝΝ, Εἰρηνοχώριος, προθρόμου ὄντος ποιημ. Γερμανικῷ ΧΡΙΣΤΟΦ. ΣΟΜΜΗΡΟΤ, Εἰλεπυργ.

II. Ἐν ναυαγίοις ἀθλιωτάτοις ἐλπιστέον ΙΩ. ΦΡΕΔΕΡ. ΣΧΙΜΜΕΡ, Λευκοπ. τροχαϊκῷ ἑλληνικῷ, κήρυκος ὑπάρχοντος ἐπικῷ ῥωμ. ΙΩ. ΦΡ. ΒΟΡΙΣΧ, Περιοδειάτου.

III. Καθ' ἑορτὴν ὑπαπάντης ἐγχειρίζειν Θεῷ ἑαυτὸν δεῖν φιλομαθῆ ΙΑΚ. ΕΝΡ. ΙΑΝΟΣ, Δρεσδεὺς ἐλεγείοις ῥωμ. προάδοντος ΦΡΕΔΕΡ. ΒΕΚΚΕΡ, βερολ. ἰαμβικῷ διμέτρῳ τετραστρόφῳ.

III. Ζιζάνια τῷ πυρῷ διακριτέα λατινιστὶ ΔΑΝ. ΡΟΤΛΑΝΔ, Στραυπιζ. προάγοντος ἐλεγ. ἑλλην. ΙΩ. ΧΡΙΣΤΟΦ. ΓΡΤΝΒΕΡΓ, Εἰλεπυργ.

IIII. Περὶ τοῦ ἐκδέχεσθαι πομπὴν εἰς τὸν Κυρίου ἀμπελῶνα δημηγορήσει ῥωμαϊκῶς ΑΤΓ. ΦΡΕΔΕΡ. ΝΙΚΟΛΑΙΔΗΣ, Λυβην. προοδοποιοῦντος ἐλεγ. λατ. ΙΩ. ΧΡΙΣΤΙΑΝ. ΟΤΑΓΝΕΡ, Λυβ.

IIIII. Τὸ δὲ τέλος ΙΩ. ΓΟΘ. ΜΑΙΟΣ, Νεοστιδ. ἐπίλογος ἀποτάξεται ταῖς Μούσαις τοῦ ἡμετέρου λυκείου, ἐν ᾧ μέχρι τοῦδε τεχνῶν, ἀρετῆς, σωφροσύνης σπουδαίως ἐφίετο. Οἱ οἰχησομένῳ εἰς Ἀκαδημίαν, διδόναι χάριν καὶ πᾶσαν εὐημερίαν εὐχὰς τῷ Θεῷ εὐχόμεθα, καὶ τοῖς Εὐεργέταις αὐτὸν συνίσταμεν. Τοὺς δὲ Μουσαγέτας καὶ πεπαιδευμένους πάντας καταλιπαροῦμεν, παρεῖναι εὐνοϊκῶς καὶ τὰ λογάρια ἀκοῦσαι. Προύβαλον ἐν Λυβήνῃ πρὸ δ΄. εἰδῶν Φεβρουαρίου μηνὸς, ὃν καθάρσιον Πλούταρχος ἑρμηνεύει, Ἐλαφηβολιῶνα οἱ Ἀττικοί. Λυκαβ. αψίγ.

78 M 428

Sign. (188) fehlt bzw.
evtl. nicht vergeben!

ULB Halle 3
002 108 178

Sb.

VD17

R 140

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-199094-p0007-4

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-199094-p0008-0

210

πρὸς

# ΤΑ ΛΟΓΙΔΙΑ ΣΧΟΛΑ-
# ΣΤΙΚΑ

περὶ

τῶν καθηκόντων τῶν Φιλομαθέων

# ΤΟΥΣ ΠΡΥΤΑΝΕΙΣ,

καὶ τοὺς ἐν τέλει,

βουλευτήριον τὸ κατὰ τὴν πόλιν, καὶ πάντας τοὺς τῆς

παιδείας τετυχηκότας

καλεῖ

## ΙΩ. ΓΟΘ. ΖΕΙΣΚΙΟΣ.

---

Ἐν Δρέσδῃ τύποις Ἰωάννου Ριεδελίου.

Inches 1 2 3 4 5 6 7 8
Centimetres 1 2 3 4 5 6 7 8 9 10 11 12 13 14 15 16 17 18 19
Farbkarte #13 B.I.G.
Blue Cyan Green Yellow Red Magenta White 3/Color Black
Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-199094-p0009-8
DFG